20 αὐτοῦ, παρὰ Εμμωρ πατρὸς Συχεμ ἑκατὸν ἀμνῶν [20]καὶ ἔστησεν
ἐκεῖ θυσιαστήριον καὶ ἐπεκαλέσατο τὸν θεὸν Ισραηλ.
34 [1]Ἐξῆλθεν δὲ Δινα ἡ θυγάτηρ Λειας, ἣν ἔτεκεν τῷ Ιακωβ, κατα-
2 μαθεῖν τὰς θυγατέρας τῶν ἐγχωρίων. [2]καὶ εἶδεν αὐτὴν Συχεμ ὁ
υἱὸς Εμμωρ ὁ Χορραῖος ὁ ἄρχων τῆς γῆς καὶ λαβὼν αὐτὴν ἐκοι-
3 μήθη μετ' αὐτῆς καὶ ἐταπείνωσεν αὐτήν. [3]καὶ προσέσχεν τῇ ψυχῇ
Δινας τῆς θυγατρὸς Ιακωβ καὶ ἠγάπησεν τὴν παρθένον καὶ ἐλά-
4 λησεν κατὰ τὴν διάνοιαν τῆς παρθένου αὐτῇ. [4]εἶπεν δὲ Συχεμ
πρὸς Εμμωρ τὸν πατέρα αὐτοῦ λέγων Λαβέ μοι τὴν παιδίσκην
5 ταύτην εἰς γυναῖκα. [5]Ιακωβ δὲ ἤκουσεν ὅτι ἐμίανεν ὁ υἱὸς Εμμωρ
Διναν τὴν θυγατέρα αὐτοῦ· οἱ δὲ υἱοὶ αὐτοῦ ἦσαν μετὰ τῶν κτη-
νῶν αὐτοῦ ἐν τῷ πεδίῳ, παρεσιώπησεν δὲ Ιακωβ ἕως τοῦ ἐλθεῖν
6 αὐτούς. [6]ἐξῆλθεν δὲ Εμμωρ ὁ πατὴρ Συχεμ πρὸς Ιακωβ λαλῆσαι
7 αὐτῷ. [7]οἱ δὲ υἱοὶ Ιακωβ ἦλθον ἐκ τοῦ πεδίου· ὡς δὲ ἤκουσαν,
κατενύχθησαν οἱ ἄνδρες, καὶ λυπηρὸν ἦν αὐτοῖς σφόδρα ὅτι ἄσχη-
μον ἐποίησεν ἐν Ισραηλ κοιμηθεὶς μετὰ τῆς θυγατρὸς Ιακωβ, καὶ
8 οὐχ οὕτως ἔσται. [8]καὶ ἐλάλησεν Εμμωρ αὐτοῖς λέγων Συχεμ ὁ
υἱός μου προείλατο τῇ ψυχῇ τὴν θυγατέρα ὑμῶν· δότε οὖν αὐτὴν
9 αὐτῷ γυναῖκα. [9]ἐπιγαμβρεύσασθε ἡμῖν· τὰς θυγατέρας ὑμῶν δότε
10 ἡμῖν καὶ τὰς θυγατέρας ἡμῶν λάβετε τοῖς υἱοῖς ὑμῶν. [10]καὶ ἐν
ἡμῖν κατοικεῖτε, καὶ ἡ γῆ ἰδοὺ πλατεῖα ἐναντίον ὑμῶν· κατοικεῖτε
11 καὶ ἐμπορεύεσθε ἐπ' αὐτῆς καὶ ἐγκτήσασθε ἐν αὐτῇ. [11]εἶπεν δὲ Συχεμ
πρὸς τὸν πατέρα αὐτῆς καὶ πρὸς τοὺς ἀδελφοὺς αὐτῆς Εὕροιμι
12 χάριν ἐναντίον ὑμῶν, καὶ ὃ ἐὰν εἴπητε, δώσομεν. [12]πληθύνατε τὴν
φερνὴν σφόδρα, καὶ δώσω, καθότι ἂν εἴπητέ μοι, καὶ δώσετέ μοι
13 τὴν παῖδα ταύτην εἰς γυναῖκα. [13]ἀπεκρίθησαν δὲ οἱ υἱοὶ Ιακωβ
τῷ Συχεμ καὶ Εμμωρ τῷ πατρὶ αὐτοῦ μετὰ δόλου καὶ ἐλάλησαν
14 αὐτοῖς, ὅτι ἐμίαναν Διναν τὴν ἀδελφὴν αὐτῶν, [14]καὶ εἶπαν αὐτοῖς
Συμεων καὶ Λευι οἱ ἀδελφοὶ Δινας υἱοὶ δὲ Λειας Οὐ δυνησόμεθα
ποιῆσαι τὸ ῥῆμα τοῦτο, δοῦναι τὴν ἀδελφὴν ἡμῶν ἀνθρώπῳ, ὃς
15 ἔχει ἀκροβυστίαν· ἔστιν γὰρ ὄνειδος ἡμῖν. [15]ἐν τούτῳ ὁμοιωθη-
σόμεθα ὑμῖν καὶ κατοικήσομεν ἐν ὑμῖν, ἐὰν γένησθε ὡς ἡμεῖς καὶ
16 ὑμεῖς ἐν τῷ περιτμηθῆναι ὑμῶν πᾶν ἀρσενικόν, [16]καὶ δώσομεν τὰς
θυγατέρας ἡμῶν ὑμῖν καὶ ἀπὸ τῶν θυγατέρων ὑμῶν λημψόμεθα
ἡμῖν γυναῖκας καὶ οἰκήσομεν παρ' ὑμῖν καὶ ἐσόμεθα ὡς γένος ἕν.
17 [17]ἐὰν δὲ μὴ εἰσακούσητε ἡμῶν τοῦ περιτέμνεσθαι, λαβόντες τὰς
18 θυγατέρας ἡμῶν ἀπελευσόμεθα. [18]καὶ ἤρεσαν οἱ λόγοι ἐναντίον
19 Εμμωρ καὶ ἐναντίον Συχεμ τοῦ υἱοῦ Εμμωρ. [19]καὶ οὐκ ἐχρόνισεν
ὁ νεανίσκος τοῦ ποιῆσαι τὸ ῥῆμα τοῦτο· ἐνέκειτο γὰρ τῇ θυγατρὶ

**34** 7 εποιησεν 911] + συχεμ A || 8 εμμωρ αυτοις 911] tr. A || 9 επιγαμβρευσασθε 911] -σατε A || 10 η γη/ιδου 911] tr. A | εγκτησασθε 911] ενκτασθαι(pro -θε) A || 11 ειπητε] + ημιν A† || 14 το ρημα > A†